# 19. THE TEMPTATION (Matt-Mk Identical)

| Matthew 4:1-11 | Mark 1:12-13 |
| --- | --- |
| *·1 Τότε ὁ Ἰησοῦς* | *·12 Καὶ εὐθὺς* |
| | *τὸ πνεῦμα* |
| | |
| *ἀνήχθη εἰς τὴν ἔρημον* | *αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον.* |
| *ὑπὸ τοῦ πνεύματος,* | |
| | *13 καὶ ἦν ἐν τῇ ἐρήμῳ* |
| | *τεσσεράκοντα ἡμέρας* |
| *πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.* | *πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ,* |
| *2 καὶ νηστεύσας* | |
| *ἡμέρας τεσσεράκοντα* | |
| *καὶ νύκτας τεσσεράκοντα* | |
| *ὕστερον* | |
| *ἐπείνασεν.* | |
| | *καὶ ἦν μετὰ τῶν θηρίων,* |
| *3 Καὶ προσελθὼν* | |
| *ὁ πειράζων εἶπεν αὐτῷ,* | |
| *Εἰ υἱὸς εἶ τοῦ θεοῦ,* | |
| *εἰπὲ ἵνα οἱ λίθοι οὗτοι* | |
| *ἄρτοι γένωνται.* | |
| *·4 ὁ δὲ ἀποκριθεὶς εἶπεν,* | |
| | |
| *Γέγραπται,* | |
| *Οὐκ ἐπ ἄρτῳ μόνῳ* | |
| *ζήσεται ὁ ἄνθρωπος,* | |
| *ἀλλ ἐπὶ παντὶ ῥήματι* | |
| *ἐκπορευομένῳ διὰ στόματος θεοῦ.* | |

Matthew 4:1-11 Mark 1:12-13

*·5 Τότε παραλαμβάνει αὐτὸν*

*ὁ διάβολος*

*εἰς τὴν ἁγίαν πόλιν,*

*καὶ ἔστησεν αὐτὸν*

*ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ,*

*6 καὶ λέγει αὐτῷ,*

*Εἰ υἱὸς εἶ τοῦ θεοῦ,*

*βάλε σεαυτὸν κάτω·*

*γέγραπται γὰρ ὅτι*

*Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται*
*περὶ σοῦ*

*καὶ*

*ἐπὶ χειρῶν ἀροῦσίν σε,*

*μήποτε προσκόψῃς*

*πρὸς λίθον τὸν πόδα σου.*

*7 ἔφη αὐτῷ ὁ Ἰησοῦς,*

*Πάλιν γέγραπται,*

*Οὐκ ἐκπειράσεις κύριον*

*τὸν θεόν σου.*

*·8 Πάλιν παραλαμβάνει αὐτὸν*

*ὁ διάβολος*

*εἰς ὄρος ὑψηλὸν λίαν,*

*καὶ δείκνυσιν αὐτῷ*

*πάσας τὰς βασιλείας*

*τοῦ κόσμου*

*καὶ τὴν δόξαν αὐτῶν,*

*9 καὶ λέγει αὐτῷ,*

*Ταῦτά σοι πάντα δώσω*

*ἐὰν πεσὼν προσκυνήσῃς μοι*

*·10 τότε λέγει αὐτῷ ὁ Ἰησοῦς,*

| Matthew 4:1-11 | Mark 1:12-13 |
|---|---|
| *῞Υπαγε, Σατανᾶ·* | |
| *γέγραπται γάρ,* | |
| *Κύριον τὸν θεόν σου προσκυνήσεις* | |
| *καὶ αὐτῷ μόνῳ λατρεύσεις.* | |
| *·11 Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος,* | |
| *<u>καὶ</u> ἰδοὺ <u>ἄγγελοι</u> προσῆλθον* | *<u>καὶ</u> οἱ <u>ἄγγελοι</u>* |
| *καὶ <u>διηκόνουν αὐτῷ.</u>* | *<u>διηκόνουν αὐτῷ.</u>* |

18 words out of 213 words = 8% agreement